ΤΗ ΙΣΤ΄ ΤΟΥ΄ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ΄

† Μνήμη τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου.

* * *


ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...


Ἦχος  Γα



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.


Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




ΑΠΟΛΥΤΙΚΙΑ

Ἦχος  Γα



Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

Τῆς Ὀκτωήχου.


Οἱ χοροὶ ἐναλλὰξ ψάλλουν τὰ ὑμνολογικὰ καθίσματα τῆς Παρακλητικῆς, κατόπιν δὲ ὁ ν΄ ψαλμὸς χῦμα.


Κατὰ τὰς ἡμέρας καθ' ἃς τὸ Μηναῖον δὲν ἔχει καθίσματα, ψάλλονται τὰ τῆς Παρακλητικῆς. Καὶ ὅταν μὲν στιχολογοῦνται τρία καθίσματα Ψαλτηρίου, ψάλλονται ὅλα τὰ καθίσματα τῆς Παρακλητικῆς· ὅταν δὲ στιχολογοῦνται δύο καθίσματα, ψάλλονται τῇ μὲν Δευτέρᾳ, Τετάρτῃ καὶ Πέμπτῃ τὰ τῆς α΄ καὶ γ΄ στιχολογίας, τῇ δὲ Τρίτῃ καὶ Παρασκευῇ τὰ τῆς β΄ καὶ γ΄ στιχολογίας. Ἐν ταῖς ἐνορίαις ὅμως εἴθισται νὰ ψάλλονται ὅλα τὰ καθίσματα. (Σύστημα Τυπικοῦ π. Κωνσταντίνου Παπαγιάννη σ. 105 ὑποσημείωση 159)

Ψάλλονται ἀπὸ τὴν Παρακλητικὴ
τὰ καθίσματα τῆς α΄, β΄ καὶ γ΄ στιχολογίας
τῆς τυχούσης ἡμέρας εἰς τὸν ἦχον τῆς τυχούσης ἑβδομάδος.


Μετὰ τὴν α΄ Στιχολογίαν, Καθίσματα. Κατανυκτικά.

Ἦχος Γα φ







Δόξα. Καὶ νῦν. Θεοτοκίον




Μετὰ τὴν β΄ Στιχολογίαν, ἕτερα Καθίσματα.
Κατανυκτικά.






Δόξα. Καὶ νῦν. Θεοτοκίον.





Μετὰ τὴν γ΄ Στιχολογίαν, ἕτερα Καθίσματα.

Κατανυκτικόν.



Μαρτυρικόν.





Δόξα. Καὶ νῦν. Θεοτοκίον.



Εἶτα τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι

ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

Οἱ Κανόνες·

Στίχοι τῶν Κανόνων:

Εἰς τὰ κατανυκτικὰ, σταυρώσιμα καὶ τὰ δεσποτικά τροπάρια:
Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Εἰς τριαδικά τροπάρια:
Ἁγία Τριὰς ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Εἰς τοὺς κανόνας τῆς Θεοτόκου καὶ τὰ θεοτοκία:
Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Εἰς τὰ τῶν ἀσωμάτων (ἑκάστης Δευτέρας):
Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς τὰ τοῦ Προδρόμου (ἑκάστης Τρίτης):
Προφῆτα τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
(τὸ αὐτὸ καὶ εἰς κανόνα προφήτου).
Εἰς τὰ ἀποστολικά (ἑκάστης Πέμπτης):
Ἀπόστολοι τοῦ Χριστοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς ἕνα ἀπόστολον:
Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Εἰς τὰ μαρτυρικά, τὰ τῶν ἱεραρχῶν καὶ τῶν ἁγίων γενικῶς:
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς ἕνα μάρτυρα ἢ ἅγιον γενικῶς:
Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Εἰς τὰ ὁσιακά:
Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Εἰς γυναῖκας ἁγίας:
Ἅγιαι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.
Εἰς μίαν γυναῖκα ἁγίαν:

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Εἰς τὰ δύο τελευταῖα τροπάρια τοῦ τελευταίου κανόνος ἑκάστης ᾠδῆς ἀπαραιτήτως λέγομεν Δόξα... Καὶ νῦν..., ἀλλ' εἰς τὸ προτελευταῖον τροπάριον τῆς η΄ ᾠδῆς (μόνον ἐν τῷ ὄρθρῳ) ἀντὶ τοῦ Δόξα Πατρί... λέγομεν Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.

Οἱ Κανόνες·

Τῆς Ὀκτωήχου.

Κανὼν Κατανυκτικός, οὗ ἡ ἀκροστιχὶς

ἄνευ τῶν Θεοτοκίων πλὴν τοῦ τῆς θ΄ ᾠδῆς.

Ἐμοὺ(ς στε)ναγμοὺς προσδέχου, Θεοῦ Λόγε. Ἰωσήφ.

Ἦχος βαρύς. ὨΙδὴ α΄. Ὁ Εἱρμός.

Τῷ συνεργήσαντι Θεῷ, Μωϋσῇ ἐν Αἰγύπτῳ, ἐξαγαγεῖν τὸν Ἰσραήλ, αὐτῷ μόνῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐν τῷ πελάγει τῶν δεινῶν, ἐμπεσὼν ἐκβοῶ σοι· Χεῖρά μοι ἔκτεινον, Οἰκτῖρμον καὶ σῶσόν με, ὡς τὸν Πέτρον Φιλάνθρωπε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μετανοοῦντά με Χριστέ, ὡς τὴν πόρνην πταισμάτων, πολλῶν ἀπόπλυνον, ῥοπῇ τοῦ ἐλέους σου, ἵνα πίστει δοξάζω σε.

Μαρτυρικά.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὁ τοὺς Ἁγίους σου Χριστέ, τῇ χωνείᾳ λαμπρύνας, πολυειδῶν αἰκισμῶν, αὐτῶν παρακλήσεσι, σκοτασμοῦ παθῶν ῥῦσαί με.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ὑπομονῇ τῶν αἰκισμῶν, καθαρθέντες ἡλίου, πλέον ἐξέλαμψαν, οἱ ἅγιοι Μάρτυρες, καὶ τὴν πλάνην ἠμαύρωσαν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ προστασία τῶν πιστῶν, ἡ τῶν ἁμαρτανόντων, ἐπιστροφὴ πρὸς Θεόν, Παρθένε πανάμωμε, τῇ πρεσβείᾳ σου σῶσόν με.

Κανὼν τῶν Ἀσωμάτων, οὗ ἡ ἀκροστιχὶς μετὰ τῶν Θεοτοκίων·

Ἀσωμάτοις ἔπαινον ἕβδομον φέρω.

Ἦχος βαρύς. Τῷ ἐκτινάξαντι.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀπειροδύναμε Χριστέ, τῷ σῷ φωτὶ καταυγάσας μου τὸν νοῦν, τοὺς Ἀγγέλους σου ὑμνεῖν ἔμπνευσον, ὅτι δεδόξασαι.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Σταθερὰν ἔχοντες αὐγήν, θεαρχικῆς προϊοῦσαν ἐκ πηγῆς, ἐπουράνιοι χοροὶ ᾄσμασι, Χριστὸν γεραίρουσιν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡραιωθεῖσάν σε Ἁγνή, ταῖς θεϊκαῖς ἀγλαΐαις οἱ πιστοί, ἐπιστάμενοι σαφῶς Χαῖρέ σοι, πάντες κραυγάζομεν.

καὶ τοῦ Ἀποστόλου ὁ παρὼν.

Ποίημα Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πλουσίως μετάδος μοι, τῆς ἐνοικούσης σοι χάριτος, Ματθαῖε πανένδοξε, καὶ ὑπηρέτα Χριστοῦ, καὶ βοήσομαι, λαμπρῶς ἀνακηρύττων, καὶ μέλψω γηθόμενος, τὰ σὰ θαυμάσια.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τελείως κατέλιπες, τῶν ἐπιγείων τὴν σύγχυσιν, τοῦ Λόγου ὡς ἤκουσας, τοῦ σαρκωθέντος φωνῆς· καὶ τῆς χάριτος, ἐδείχθης οἰκονόμος, καὶ κῆρυξ θεόληπτος, θεομακάριστε.

Δόξα.

Αὐτόπτης γενόμενος, καὶ ὑπηρέτης διέπρεψας, τοῦ Λόγου Ἀπόστολε, τοῦ πρὸ αἰώνων Πατρός· καὶ διέδραμες, αὐτοῦ τὴν παρουσίαν, εὐαγγελιζόμενος, πᾶσι τοῖς ἔθνεσιν.

Καὶ νῦν. Θεοτοκίον.

Θανάτου καθαίρεσιν, καὶ τῆς φθορᾶς τὴν κατάλυσιν, ζωῆς τε φανέρωσιν, εὐηγγελίσω σοφέ· τῆς Παρθένου γάρ, ἐν μήτρᾳ ἐνοικήσας, ὁ ἀπεριόριστος, κόσμον ἀνέπλασεν.

τῆς Ὀκτωήχου. Ὠδὴ γ΄.

Ἦχος βαρύς. Ὁ Εἱρμός.

Ὁ στερεώσας τῷ λόγῳ σου τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, στερέωσον καὶ ἡμῶν τὴν διάνοιαν, εἰς τὸν φόβον σου Κύριε.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νυκτὶ ἀτόπων κατεσχέθην ἁμαρτημάτων, φωτὶ μετανοίας με νῦν, καταύγασον φωτοδότα Φιλάνθρωπε, ἵνα πίστει δοξάζω σε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Αἱ τρίβοι πᾶσαι ἃς διώδευσα ἐν τῷ βίῳ, ἐν βαράθροις ἡδονῶν με, κατεκρήμνισαν· Ἰησοῦ μετανοίας μοι, θείας τρίβους ὑπόδειξον.

Μαρτυρικά.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Γενναιοφρόνως διανύσαντες τὸν ἀγῶνα, ἐπάθλων οὐρανίων, ἠξιώθητε παναοίδιμοι Μάρτυρες, ὑπὲρ πάντων πρεσβεύοντες.

Στίχ. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Μυρίους πόνους ὑπομείναντες Ἀθλοφόροι, μυρίων ἀγαθῶν, ἠξιώθητε μυριάσιν ἑνούμενοι, ἀσωμάτων Δυνάμεων.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Μόνη τεκοῦσα τὸν οὐράνιον Βασιλέα, Παρθένε ἐν ἐμοί, τὴν βασιλεύουσαν ἁμαρτίαν κατάβαλε, καὶ οἰκτείρασα σῶσόν με.

Κανὼν τῶν Ἀσωμάτων.

Ἦχος βαρύς. Ἐστερεώθη τῇ πίστει.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Μεσῖται θείας, χρηματίζοντες ἐκφαντορίας, χοροὶ Ἀγγέλων ἀΰλως, κραυγάζετε πάντες· Ἅγιος εἶ Κύριε, ὁ μόνος παντοδύναμος.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Ἀγάπης νόμῳ, τὰς θείας Ἀρχάγγελοι ἐμφάσεις, διαδιδόντες εὐρύθμως, Χριστῷ μελῳδεῖτε· Ἅγιος εἶ Κύριε, ὁ μόνος παντοδύναμος.

Στίχ. Ἀρχάγγελοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.

Τῆς πρώτης αἴγλης, δευτέρας λαμπρότητας ζηλοῦντες, οἱ εὐσεβοῦντες συμφώνως Χριστῷ μελῳδοῦσιν· Ἅγιος εἶ Κύριε, ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἐκ μὴ ὄντων, τὰ πάντα παραγαγὼν βουλήσει, ἐκ σοῦ Παρθένε τὴν σάρκα, δανείζεται Λόγος, ἄνθρωπος γενόμενος, δι᾽ οἶκτον ὁ Φιλάνθρωπος.

Καὶ τοῦ Ἀποστόλου. ὨΙδὴ γ΄.

ὨΙδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοὺς σοὺς Ἀποστόλους Θεοῦ Λόγε, φωστῆρας ἀνέδειξας ζωῆς, τὸν ζόφον ἀπελαύνοντας, τῆς ἀθεΐας Δέσποτα, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, τὸν κόσμον ὅλον φωτίζοντας.

Στίχ. Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ σῇ καθοπλίσας παντευχίᾳ, Ματθαῖον τὸν ἄριστον Σωτήρ, τυράννων δυνατώτερον, τοῦτον εἰργάσω Δέσποτα, καὶ καθαιρέτην ἔδειξας, εἰδώλων πλάνης φιλάνθρωπε.

Δόξα.


Γλώσσης τῆς πυρίνης σου ὁ φθόγγος, δαιμόνων ἐνέπρησε βωμούς, Ματθαῖε τὸ θεότευκτον, τοῦ Παρακλήτου ὄργανον, δι᾽ οὗ Χριστὸς κηρύττεται, Λόγος ὁ ἐνυπόστατος.

Καὶ νῦν. Θεοτοκίον.

Σάλπιγξ θεολόγος φθεγγομένη, συντόνως ἐφώτισε λαούς, Ματθαίου τοῦ θεόφρονος, τὴν τῆς Τριάδος ἔλλαμψιν, τὴν ὑπὲρ νοῦν τε σάρκωσιν, τοῦ Λόγου ἐκ σοῦ Πανάχραντε.

Ὁ Εἱρμός.

Ἦχος δ Βου ξ



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὁ πρῶτος τοῦ Χριστοῦ, Εὐαγγέλιον γράψας, καὶ πᾶσαν δᾳδουχῶν, τὴν ὑφήλιον κτίσιν, Ματθαῖος ὁ σοφώτατος, καὶ Χριστοῦ μύστης ἄριστος, νῦν τιμώμενος, ταῖς ἱεραῖς μελῳδίαις, πᾶσιν ἄφεσιν, ἁμαρτιῶν ἐξαιτεῖται, τοῖς πόθῳ τιμῶσιν αὐτόν.

Δόξα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν χρυσὸν καταλείψας ὡς ἀληθῶς, τὸν Χριστὸν δὲ ποθήσας φιλευσεβῶς, Ματθαῖε Ἀπόστολε, τῶν περάτων ἐδείχθης φωστήρ· καὶ ἐκ Τελώνου ὤφθης, Ἀπόστολος ἔνδοξος, μαθητὴς γενόμενος, καὶ κῆρυξ τῆς πίστεως. Ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, καὶ πιστῶς ἑορτάζομεν, μελῳδοῦντες καὶ λέγοντες· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων· διὰ τοῦτο βοῶμεν αὐτῇ· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄχραντον τόκον

σου.

Ὁ Εἱρμός τῆς ϛ΄ ᾠδῆς.

Ἦχος Βου ξ



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ τελωνείου τὸν ζυγὸν ἀπορρίψας, δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης, καὶ ἀνεδείχθης ἔμπορος πανάριστος, πλοῦτον κομισάμενος, τὴν ἐξ ὕψους σοφίαν· ὅθεν ἀνεκήρυξας, ἀληθείας τὸν λόγον, καὶ τῶν ῥαθύμων ἤγειρας ψυχάς, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

Ὁ Οἶκος.

Ἡ τοῦ ἐχθροῦ με τυραννὶς βιάζεται ἀπλήστως, καὶ τῆς ψυχῆς μου ὅλον τὸν σπόρον καθαρπάζει, Ματθαῖε φίλε τοῦ Χριστοῦ· ἀλλ᾽ αὐτὸς τὸν σπόρον τῶν εὐχῶν σου δεδωκώς, πρὸς σὴν δουλείαν κάρπωσον, καὶ δεῖξον ὑμνῳδόν σου σμικρότατον, καὶ ὑφηγητήν με τῶν πολλῶν σου καὶ μεγάλων κατορθωμάτων, καὶ τῆς πρὸς Χριστόν σου σχέσεως· πῶς πάντα παρευθὺς ἐγκαταλείψας, ἠκολούθησας θερμῶς τῷ κεκληκότι, πρῶτος γεγονὼς Εὐαγγελιστὴς ἐν τῷ κόσμῳ, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

Συναξάριον.

Τῇ ΙϚ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου. (†60)

Στίχ. «Σῴζεις Ἰησοῦ καὶ τελώνας· σοὶ χάρις».
Οὕτω βοᾷ Ματθαῖος ἐκ πυρὸς μέσου.

Ἀκάματον Ματθαῖον πῦρ δεκάτῃ κτάνεν ἔκτῃ.

Ὅς, ἐπὶ τὸ τελώνιον καθήμενος, τοῦ Κυρίου ἀκούσας πρὸς αὐτὸν εἰπόντος,

Ἀκολούθει μοι, αὐτῇ τῇ ὥρᾳ ἀναστάς, ἠκολούθησεν αὐτῷ. Καὶ ποιήσας αὐτῷ δοχὴν μεγάλην, καθώς φησι τὸ Εὐαγγέλιον, τοῖς Ἀποστόλοις συναριθμεῖται. Οὗτος τὴν τοῦ Ἁγίου Πνεύματος δύναμιν δεξάμενος, καὶ σοφισθεὶς τὰ θεῖα, τὸ κατ᾽ αὐτὸν Εὐαγγέλιον συνεγράψατο καὶ τοῖς Ἰουδαίοις ἀπέστειλε. Πάρθους τε καὶ Μήδους διδάξας καὶ Ἐκκλησίαν συστησάμενος καὶ πολλὰ ἐργασάμενος θαύματα, ὕστερον ὑπὸ τῶν ἀπίστων διὰ πυρὸς τελειοῦται.

Οὗτος, ὡς τὴν λαχοῦσαν ἕκαστος τῶν Μαθητῶν διατρέχων εὐηγγελίζετο γῆν, ἐπὶ τὸ ὄρος ὁ Ματθαῖος ἀνέδραμε καὶ ἐν αὐτῷ μονοχίτων διεκαρτέρει καὶ αἴθριος. Μετὰ δέ τινος χρόνου διάστημα, ὁ ἐκ χοὸς διαρθρώσας τὸν ἄνθρωπον, ὡς παιδίον ἐν τῷ ὄρει τῷ Ματθαίῳ ὀπτάνεται· καὶ τούτῳ προτείνας τὴν δεξιάν, βακτηρίαν αὐτῷ ἐπιδίδωσιν, εἰρηκώς· Δέξαι ταύτην καὶ τοῦ λόφου κατάβηθι, καὶ παραβαλὼν τῇ Μυρμήνῃ, πρὸς τὴν φλιὰν τοῦ ἐκεῖσε ἁγιάσματος αὐτὴν καταφύτευσον. Καὶ τῇ δεξιᾷ τῇ ἐμῇ ῥιζωθεῖσα καὶ ἀνυψωθεῖσα, δένδρον πολύκαρπον γενήσεται, καὶ γλυκασμὸς ἀπ᾽ ἄκρων αὐτοῦ καταβήσεται μέλιτος καὶ πηγὴ ἐκ τῆς ῥίζης αὐτοῦ ἀναδοθήσεται· ἐξ ἧς ἀπολουσάμενοι οἱ τῆς πόλεως ἄνδρες θηριόγνωμοι, καὶ τοῦ γλυκασμοῦ μεταλαβόντες, τὴν αἴσθησιν ἡδυνθήσονται, τὸ παρανομεῖν καταλιπόντες.

Τότε ὁ Ματθαῖος, τὸ δοθὲν εὐλαβῶς ἐκ χειρὸς Κυρίου δεξάμενος, τὴν λοφιὰν ἀφείς, πρὸς τὸ προκείμενον ἤγετο. Ἡ τοῦ βασιλέως οὖν ὁμόζυγος Φουλβάνα, τῷ Ἀποστόλῳ συναντήσασα σὺν τῷ υἱῷ καὶ τῇ νύμφῃ, πονηροῖς δαμαζομένοις πνεύμασι, φωναῖς τε τραχείαις καὶ συστροφαῖς τὸν Ἀπόστολον δονοῦντες προὔλεγον· Τίς σε καὶ τοῖς ἡμετέροις προσβαλεῖν κατηνάγκασεν; ἢ τίς σοι καὶ τὴν ῥάβδον εἰς ἡμέτερον δέδωκεν ὄλεθρον; Ὁ δέ, πραείᾳ τῇ φωνῇ τοῖς ἀκαθάρτοις πνεύμασιν ἐπιτιμήσας, τοὺς ἀτακτοῦντας ἰάσατο καὶ σωφρόνως ἐπακολουθεῖν πρὸς ἑαυτὸν ἐπεσπάσατο.

Τὴν τοῦ Ἀποστόλου δὲ παρουσίαν μαθὼν ὁ τότε Πλάτων Ἐπίσκοπος, ἐξιὼν σὺν τῷ Κλήρῳ προσυπάντα, καὶ ἄμφω ἐν τῇ πόλει γενόμενοι, ἐπ᾽ ὄψει πάντων, ὡς ὁ ἐντειλάμενος ὑπέθετο, πρὸς γῆν ὑπερείσας τὴν βακτηρίαν, τὸν ὡς παιδίον ἐπιφανέντα ηὐλόγησε. Τότε ῥιζωθὲν τὸ ξηρόν, αὐτίκα κλάδους καὶ καρποὺς περκάζοντας ἔφερε, τοῦ μέλιτος τὴν ποιότητα ἀποστάζοντας, καὶ πρὸς τῇ ῥίζῃ πηγὴν ἀποῤῥέουσαν, ὡς ἐκπλαγῆναι τοὺς παρατυχόντας ἐπὶ τῷ ξένῳ θεάματι. Ἐπεὶ δὲ καὶ τῶν πολιτῶν πρὸς τὸ παράδοξον τὸ πλῆθος συνεδεδραμήκει, τῆς ἐκ τοῦ δένδρου μεταλαμβάνον ἡδύτητος, τὴν προτέραν ἑτοίμως ἀπέπτυον ἀγριότητα.

Ὡς δὲ καταφανὲς ἦν καὶ τῷ βασιλεῖ τὸ γενόμενον, ὡς ἐκ τούτου πλέον καὶ τὸ τῆς συνεύνου ὑγιὲς ἐτεκμήρατο, καὶ πρὸς μικρὸν τὴν ψυχὴν ἀγαθύνας, ὑπὸ σκαιοῦ πάλιν ἀνεφλέγετο Δαίμονος, ποιῆσαι πυρὸς παρανάλωμα τὸν Ἀπόστολον, διὰ τὸ μηδὲ τὴν ὁμόζυγον διαιρεῖσθαι ὅλως τοῦ εὐεργέτου. Ἀλλὰ πάλιν ὁ Σωτὴρ νυκτὸς ὀπτάνεται τῷ Ἀποστόλῳ, εἰρηκώς· Κἂν πονηρὰ κατὰ σοῦ τῷ βασιλεῖ μεμελέτηται, αὐτός, Ματθαῖε, μὴ δέδοιθι ἔχων με μετὰ σοῦ. Ταύτην οὖν τὴν ὀπτασίαν ὁ τοῦ Θεοῦ Μύστης τῷ Ἐπισκόπῳ κοινωσάμενος, εὐχαριστῶν διετέλει. Καὶ δὴ εἰς τὸ συλλαβεῖν αὐτὸν τέσσαρες ἀπεστάλησαν, κελεύσει τοῦ κρατοῦντος· καὶ ἀχλύι περιχυθέντες κατ᾽ ὀφθαλμῶν, τὸ γεγονὸς τῷ ἀποστείλαντι ἀνακάμψαντες λέγουσι, τούτου τῆς φωνῆς, προσθέμενοι, ὁμιλοῦντος ἐπακροώμενοι, ἰδεῖν ἢ συλλαβεῖν αὐτὸν οὐ δυνάμεθα. Ἐπὶ τούτοις ὁ βασιλεὺς περιμανὴς γενόμενος, ἑτέρους δέκα προσαποστέλλει, οὕτως εἰπών· Εἰ καὶ κωλύσων ὑμᾶς τις παραγένηται, ξίφει τοῦτον διαχειρίσασθε. Ὡς οὖν ἐγγίζειν λοιπὸν ἔμελλον οἱ ἀποσταλέντες καὶ

Ἰησοῦς ὁ Θεὸς παρῆν, ὡς παιδίον ὡραῖον τότε φανείς. Οὗ τὴν βολὴν τοῦ φέγγους μὴ φέροντες ὁρᾶν, τῶν ὅπλων ἀφ᾽ ἑαυτῶν τὴν περιβολὴν ἐκτινάξαντες, στραφέντες ἀπήγγειλαν τῷ βασιλεῖ τὸ συμβάν. Τότε ὑπὸ τοῦ τῆς κακίας ἐφευρετοῦ ἀναβρασθεὶς ὁ κρατῶν, αὐτόχειρ τὸν Ἀπόστολον διαχειρίσασθαι παραγίνεται. Ὡς δὲ πλησίον ἐγένετο, περιήει χειραγωγοῦ προσδεόμενος, καὶ ἐκλιπαρῶν τὸν Ἀπόστολον οὐκ ἐπαύσατο, Σύγγνωθί μοι, λέγων, τῇ ἀβουλίᾳ, καὶ τῶν ὀφθαλμῶν τὴν σκοτόμαιναν ἀπέλασον. Δυσωπηθεὶς οὖν ὁ τοῦ Κυρίου Ἀπόστολος, τὸ σημεῖον τοῦ Σταυροῦ τοῖς ὀφθαλμοῖς διατυπώσας, τρανῶς αὐτὸν ὁρᾶν παρεσκεύασε. Καὶ τῆς χειρὸς ὁ βασιλεὺς τοῦ Ἀποστόλου λαβόμενος, ὡς δῆθεν αὐτὸν πρὸς τὰ βασίλεια εἵλκεν. Ἀλλὰ πονηρὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ θέμενος πρὸς τὸν Ἀπόστολον οὐ διέλαθε. Τούτου δὲ στηλιτεύσας τὰ ἐγκάρδια, πρὸς φόνον διήγειρε τὸν ἀσύνετον· καὶ παρευθὺς τοῖς στρατιώταις συλλαβέσθαι διακελεύεται τὸν Ἀπόστολον καὶ χεῖρας τούτου καὶ πόδας εἰς γῆν καταπεῖραι. Εἶθ᾽ οὕτω, φορητὸν τούτῳ καταστεγάσαι, ἐκ δελφιναίου ὑγρανθέντα ἐλαίου, καὶ ἀσφάλτῳ καὶ πίσσῃ τὴν σορὸν ἄνωθεν ἐπιῤῥαντίζεσθαι, πρὸς ἐπὶ τούτοις καὶ κληματίσι τὴν φλόγα ἐπερεθίσαι. Καὶ θᾶττον οἱ φονεῖς ἁρπάσαντες τὸν Ἀπόστολον, εἰς τὸν ἡτοιμασμένον ὡς ἱερεῖον βωμὸν ἤγαγον. Καὶ τῇ γῇ προσηλώσαντες, ἐπ᾽ αὐτοῦ τὴν ὕλην ἀνάπτουσι. Τότε ἡ συρίζουσα δρόσον ἐδέξατο κάμινος, σῶμα τὸ ἱερὸν τὸ παράπαν μὴ φλέξασα. Τοῦτο τοὺς ὁρῶντας ἐξέπληξεν, ἀπίστους ὄντας καὶ τὸν τοῦ Ἀποστόλου ἀνευφήμουν Θεόν, ὡς ἐκ τῆς κραυγῆς καὶ τὸν Βασιλέα ταραχθῆναι καὶ τὸ θρυλλούμενον διαπυνθάνεσθαι. Ὅς καὶ τὸ γεγονὸς ἀναμαθών, ἐναργέστερον ἔλεγε, Τοῦ ἀνδρὸς τὴν εὐσέβειαν ἀποδεῖξαι βούλομαι, εἴγε ἀληθὲς τὸ γινόμενον. Καὶ πολλὴν ἀνθρακιὰν ἐκ βαλανείων συλλέξας καὶ φρυγάνων καταδέσμους συναγαγών, καὶ τοὺς χρυσίνους αὐτοῦ θεοὺς ἄνωθεν τῆς καμίνου, τῆς τὸν Ἀπόστολον ἐχούσης, περιθείς, καὶ κύκλῳ τῆς καμίνου ἑτέρους ἀνδριάντας παραστήσας καὶ τῇ ξηρᾷ ὕλῃ τὴν ἀνθρακιὰν ἐπιῤῥάνας, εἰς βοήθειαν τούτους ἐπεκαλεῖτο. Τοῦ Ἀποστόλου δὲ κάτωθεν προσευχομένου, τέρας ἐξαίσιον δείκνυται. Τὸ γὰρ ἐπικυρτωθὲν πρὸς τοὺς ἔξωθεν ἀνδριάντας πῦρ, ὡς ξηρὰν ὕλην τούτους ἀποτεφρῶσαν, τὸν ἀλαζόνα φεύγοντα ἐδίωκεν. Ὁ δέ, ὑπονοστήσας πρὸς τὴν κάμινον, δεδοικὼς μὴ καταληφθῇ, καὶ τὸν Ἀπόστολον εὑρὼν προσευχόμενον, τοῦ πυρὸς ἐζήτει διαδράναι τὸν κίνδυνον. Καὶ ὅς, ἐν αὐτῇ τῇ καμίνῳ πάλιν προσευξάμενος καὶ τὴν φλόγα βροντοειδῶς ἑλκύσας πρὸς ἑαυτὸν καί, Εἰς χεῖράς σου Κύριε, προσειπών, τὴν ψυχὴν παρατίθημι, τὸν βασιλέα τοῦ κινδύνου ἐῤῥύσατο. Τότε κλίνην βασιλικὴν προσαχθῆναι κελεύει καὶ ἐν αὐτῇ τὸ ἐκ τοῦ πυρὸς ἄψαυστον ἀνακομισθὲν λείψανον ἀποτεθῆναι προστάττει, καὶ μεγιστάνων ὤμοις φερόμενον ἀπαγαγεῖν πρὸς τὰ βασίλεια.

Ἀλλ᾽ ἐπείπερ οὐκ ἄρτιον, ἀλλὰ χωλεύουσαν ἔτι τὴν πίστιν ἐκέκτητο, σιδηροῦν ὁ βασιλεὺς προστάσσει γενέσθαι γλωσσόκομον. Καὶ τούτου γενομένου, τὸ ἱερὸν ἐν αὐτῷ τοῦ Ἀποστόλου ἀσφαλισάμενος λείψανον, οὕτω πως πρὸς τὴν Σύγκλητον ἔφη· Ὁ ὑπὸ τούτου ἡμῖν Θεὸς ἀναγνωσθείς, εἰ ἐκ βυθοῦ θαλάσσης, ὡς ἐκ πυρὸς τηρήσει πάλιν ἀμέτοχον, κραταιός τίς ἐστι καὶ τῶν στοιχείων ἀνώτερος· ὅθεν τοὺς θεοὺς ἡμεῖς, μὴ δυνηθέντας ἑαυτοὺς ἐκ τοῦ πυρὸς ῥύσασθαι, καταλείψαντες, αὐτὸν σέβειν πάντες ἀδιστάκτως ὀφείλομεν. Τοῦτο εἰπών, ποντωθῆναι τὴν σιδηρᾶν λάρνακα προστάσσει. Ὡς δὲ πέρας εἶχε τὸ πραττόμενον, νυκτὸς ὁ Εὐαγγελιστὴς τῷ Ἐπισκόπῳ ὀπτάνεται, Πρὸς ἀνατολήν, λέγων, τοῦ παλατίου γενόμενος, θείᾳ δυνάμει τὸ

ἐμὸν λείψανον σὺν τῷ γλωσσοκόμῳ εὑρήσεις φερόμενον. Τότε σὺν τοῖς λογάσιν ὁ θυηπόλος τὸν δηλωθέντα αὐτῷ τόπον καταλαβών, τὴν σορόν, ὡς ἐν ἀκατίῳ φερομένην, ἑωρακώς, ἐπινικίοις φωναῖς τὸν ἐκ πυρὸς καὶ ὕδατος ῥυόμενον ἀπευφήμησε Κύριον. Τοίνυν καὶ ὁ βασιλεὺς τὴν ἀπιστίαν ὅλην ἀπορρίψας, συγγνώμην ᾔτει καὶ τὴν δι᾽ ὕδατος κάθαρσιν. Τοῦτο δὲ τὸ διάπυρον ὁ Ἱερεὺς θεασάμενος, τὰ συνήθη πρότερον ἐπειπών, καὶ τοὺς κατὰ τοῦ ὀλετῆρος ὁρκισμούς, ἐπιβῆναι προστάσσει τοῦ ὕδατος. Ἐν τούτῳ τῆς κορυφῆς ἁψάμενος, ἄνωθεν ἐπιφερομένης ἀκούει φωνῆς· Μὴ Φουλβιανόν, ἀλλὰ Ματθαῖον τοῦτον ὀνόμασον. Τότε ὁ βασιλεὺς εἰς τὸ τοῦ Ἀποστόλου ἀναγεννηθεὶς ὄνομα, μετὰ τὴν ἑπταήμερον κάθαρσιν, τὰ ὑπ᾽ αὐτὸν πάντα ἀπὸ ψυχῆς συνέτριψεν εἴδωλα, καὶ τῆς σοροῦ καλῶς ἐπιμελησάμενος, τοὺς ὑπ᾽ αὐτὸν πάντας ἔπεισε τῷ φωτισμῷ προσελθεῖν. Αὐτὸν δὲ τὸν βασιλέα, Πρεσβύτερον χειροτονηθῆναι, καθ᾽ ὕπαρ ὁ Ἀπόστολος τῷ Ἐπισκόπῳ φανεὶς ἐπέσκηψε καὶ τὸν υἱὸν αὐτοῦ Διάκονον· καὶ μετὰ τριῶν ἐνιαυτῶν περαίωσιν, ἔσται σοι πρὸς Χριστὸν ἡ ἀνάλυσις, καὶ σοῦ διάδοχος ἔσται Ματθαῖος ὁ βασιλεύς, ὁ ἐπὶ τῷ ἐμῷ ὀνόματι ἀναγεννηθείς· καὶ προϊόντος τοῦ χρόνου, ὁ Πλάτων πρὸς Κύριον ἐξεδήμησε καὶ τῷ βασιλεῖ τὸν θρόνον ὡς Ἱερεῖ καταλέλοιπε καὶ πάλιν αὐτὸς τῷ υἱῷ, κατὰ τὴν τοῦ Ἀποστόλου διάταξιν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Φουλβιανοῦ, πρίγκιπος Αἰθιοπίας, ὑπ᾽ αὐτοῦ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου βαπτισθέντος καὶ Ματθαίου ἐπονομασθέντος. (α΄ αἰ.)

Στίχ. Φουλβιανὸς τῶν Αἰθιόπων πρίγκηψ,
Σκῆπτρον ἐπόθησε τῆς ἄνω Βασιλείας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας παρθενομάρτυρος Ἰφιγενείας, ἐν Τοκάτῃ τοῦ Πόντου. (†68)

Στίχ. Σαρκὸς νεκρωθεῖσα Ἰφιγένεια πᾶν μέλος
Θανοῦσα συνοικεῖς τοῖς ἀσάρκοις Ἀγγέλοις.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Φιδεντίου (Fidentius Armenus), ἐπισκόπου Παδούης (Padua) ἐν Ἰταλίᾳ. (†168)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Εὐχερίου, ἐπισκόπου Λουγδούνου (Lyon) ἐν Γαλλίᾳ. (†449)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη ὧν ἁγίων μαρτύρων Ῥουφίνου, Μάρκου, Βαλερίου καὶ τῶν σὺν αὐτοῖς, ἐν βορείῳ Ἀφρικῇ ἀθλησάντων. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἐπισκόπου τῆς φερωνύμου ἐκκλησίας (Llanafan) ἐν Πόβῃ (Powys) τῆς Οὐαλίας. (Ϛ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀφρικοῦ (Africus), ἐπισκόπου Κομμίνγης (Comminges) ἐν Γαλλίᾳ, τιμωμένου ὡς ὑπερμάχου τῆς Ὀρθοδοξίας. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Γοβραΐνου (Gobrain), ἐπισκόπου γενομένου Βάννης (Vannes) ἐν Βρεττάνῃ, καὶ ἐν τέλει ἐρημίτου. (†725)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Αὐδομάρου (Otmar, Audomar), κτίτορος καὶ ἡγουμένου τῆς μονῆς Ἁγίου Γάλλου ἐν Ἑλβετίᾳ. (†759)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Λουβουΐνου (Lubuinus), ἀγγλοσάξονος ἱεραποστόλου ἐν Φρισίᾳ (Friesland) τῆς Ὁλλανδίας. (†773)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Ἀελφρίκου (Ælfric), λθ΄ (39ου) ἀρχιεπισκόπου Καντερβουρίας (Canterbury) ἐν Ἀγγλίᾳ. (†1005)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σεργίου, ἱεραποστόλου τῆς Μαλοπινέγκᾳ ἐν Βολογκντᾷ. (†1585)

Στίχ. Σέργιος ἱερεὺς Σαβαὼθ Κυρίου,
Θαυματουργός ἐστι δι᾽ ἀρετὴν βίου.


Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Ὁ Εἱρμός τῆς η΄ ᾠδῆς.

Ἦχος  Βου ξ

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.





* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.


Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ


1







2







3 Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τϑ και
το ε λε ος αυ τϑ εις γε νε αν και γε νε
αν τοις φο βϑ με νοις αυ τον
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4 Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϑ
δι ε σκορ πι σεν υ πε ρη φα νϑς δι α νοι
α καρ δι ας αυ των
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν



5 Κα θει λε δυ να στας α πο θρο νων και υ υ
ψω σε τα πει νϑ ϑς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλϑ τϑ ϑν τας ε ξα πε στει λε κε νϑ
ϑς
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν
6 Αν τε λα βε το Ισ ρα ηλ παι δος αυ τϑ
μνη σθη ναι ε λε ϑς κα θως ε λα λη σε προς
τϑς πα τε ρας η μων τω Α βρα αμ και τω σπερ
μα τι αυ τϑ ε ως αι ω νος
Τ ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου ου ου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο μεν

ᾠδὴ θ΄



καὶ τὸ Ἄξιον ἐστίν:

Ἦχος Βου



Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·


Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *


ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Τοῦ Ἀποστόλου.

Ἐν πνεύματι τῷ ἱερῷ Ἦχος Γα ϱ




Θεοτοκίον.



Εἰς τοὺς Αἴνους.

Ἦχος Πα



Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ προσόμοια γ΄, δευτεροῦντες τὸ α΄.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἔλαμψας Ἀπόστολε, φωτοειδὴς ὥσπερ ἥλιος, ταῖς ἀκτῖσι τοῦ Πνεύματος, καὶ πᾶσαν κατηύγασας, οἰκουμένην μάκαρ, τῇ θεογνωσίᾳ, καὶ ἀπεδίωξας ἀχλύν, πολυθεΐας Ματθαῖε πάνσοφε· διό σου τὴν ὑπέρφωτον καὶ ἀξιάγαστον σήμερον, ἐκτελοῦμεν πανήγυριν, ὡς πηγὴν ἁγιάσματος.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἔλαμψας Ἀπόστολε ...


Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.


Ἐν ὕψει καθήμενος, θεογνωσίας Ἀπόστολε, ὑπεδέξω τοῦ Πνεύματος, τὴν αἴγλην φανεῖσάν σοι, τοῦ πυρὸς ἐν εἴδει, καὶ γλώσσῃ πυρίνῃ, πᾶσαν κατέφλεξας σαφῶς, τῆς ἀσεβείας ὕλην πολύθεον· διό σε ὡς Ἀπόστολον, καὶ θεηγόρον γεραίρομεν, τὴν ἁγίαν σου σήμερον, ἐκτελοῦντες πανήγυριν.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἐβρόντησας πάνσοφε, τῇ οἰκουμένῃ διδάγματα, ἱερὰ καὶ σωτήρια, καὶ πᾶσαν ἐκάθηρας, εἰδωλομανίας, τὴν κτίσιν Ματθαῖε, καὶ κατεφώτισας λαούς, Εὐαγγελίου ταῖς ἐπιλάμψεσιν· εἰδώλων τὰ τεμένη δέ, καταστρεψάμενος χάριτι, Ἐκκλησίας εἰς αἴνεσιν, τοῦ Θεοῦ ᾠκοδόμησας.


Ἦχος Νη





Καὶ νῦν. Θεοτοκίον.

Ἦχος Νη





* * *


Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον


Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Μανουὴλ Πρωτοψάλτου.




α την με γα α λην σου δο ξαν
Κ υ ρι ε Βα σι λευ ε που ρα νι ε Θε ε
Πα τερ παν το κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες
Ι η σου Χρι στε και Α γι ον Πνευ μα
Κ υ ρι ε ο Θε ος ο αμ νος του Θε ου ο Υι
ος του Πα τρος ο αι αι ρων την α μαρ τι ι αν
του κο οσ μου ε λε η σον η μας ο αι αι ρων τας α μαρ
τι ι ας του κο σμου
Π ρο σδε ξαι την δε η σιν η μων ο κα θη με νος εκ
δε ξι ω ων του Πα τρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος Συ ει ει μο νος
Κυ ρι ος Ι η σους Χρι στος εις δο ο ξαν Θε ου Πα τρος
α μη ην
Κ αθ ε κα α στην η με ραν ευ λο γη σω σε και
αι νε ε σω το ο νο μα α σου εις τον αι ω ω να και
εις τον αι ω να του αι ω νος


Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα
αυ τη α να μαρ τη τους φυ λα χθη ναι η μα ας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των πα
τε ε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον
το ο νο μα α σου εις τους αι ω νας α μη ην
Γ ε ε ε νοι το Κυ ρι ε το ε λε ος σου εφ η
μας κα θα περ ηλ πι σα α μεν ε πι σε ε
Ε υ λο γη το ος ει ει Κυ ρι ι ι ε δι δα ξον με
τα δι και ω μα τα σου (τρίς)
Κ ρι ε κα τα φυ γη ε γεν νη η θης η μιν εν γε
νε α και γε νε α ε γω ει πα Κυ ρι ι ε ε λε
η σο ον με ι α σαι την ψυ χη ην μου ο τι η μαρ τον
σοι
Κ υ ρι ε προς σε κα τε ε φυ γον δι δα ξο ο ον με
του ποι ειν το θε λη μα α σου ο τι συ ει ο Θε
ο ος μου



Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
σου ο ψο με θα φω ως
Π α ρα τει ει ει νον το ε λε ο ος σου τοις γι νω
σκου σι σε
Α α γι ος ο Θε ος Α α γι ος Ι σχυ ρος Α γι
ος α θα να τος ε λε η σον η μα ας (τρίς)
Δ ο ξα Πα τρι ι και Υι ω και α γι ω Πνευ μα
τι
Κ αι νυν και α ει ει και εις τους αι ω νας των αι ω
νων α μη ην
Α γι ος α θα να τος ε λε η σον η μα ας

Ἀσματικὸν. χ

Α α α γι ι ος ο Θε ε ε ο ος Α
α α γι ι ος Ι σχυ υ υ ρο ος Α γι ι ος Α
α θα α α α α να α α α α τος ε λε ε ε ε
ε η σο ο ο ο ο ον η η μα α α α α α



Τὸ ἀπολυτίκιον




* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ


Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἐξαπλᾶ.




Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος πλ. Νη ζω



Ἀθανασίου Καραμάνη.

Ἦχος πλ. Νη ζω




καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϟα΄ (91).


Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϟα΄ 2)






Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϟα΄ 3)






Στίχ. γ΄. Ὅτι εὐφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ϟα΄ 5)







Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ϟα΄ 16)





Δόξα. Καὶ νῦν.






Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϟβ΄ (92).


Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϟβ΄ 1)




Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϟβ΄ 1)




Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (ϟβ΄ 4)



Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (ϟβ΄ 5)



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.



Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...


Ἀντίφωνον Γ΄. Ἦχος γ΄. Ψαλμὸς πη΄ (88).

Ἦχος Γα


Στίχ. α΄. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Στίχ. β΄. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;

Στίχ. γ΄. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.



μὲ τέλος:




* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι





ὁ β΄ χορός:



* * *

Ἦχος Γα






Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τῶν Εἰσοδίων τῆς Θεοτόκου.
(ἀπὸ η΄ ἕως κε΄ πλὴν τῆς κ΄ Νοεμβρίου).
(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)


Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος Δι




* * *

ΤΡΙΣΑΓΙΟΣ ὝΜΝΟΣ

Ἦχος Δι




Τό τρίτον.


ον η μα ας
Α γι ος ο Θε ο ο ο ο ο ο ο
ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α
α α α α γι ι ι ος α θα α να α α το ο
ο ος ε λε ε η η σον η η μα ας


Τρισάγιον. Σύντομον.


Ἦχος Δι



Δύναμις τοῦ βήματος.


Ἦχος Δι






Ἕτερον ὑπό Γεωργίου Κρητός († 1816)

Ἦχος Δι





* * *

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον καὶ Ἀλληλούϊα Ἀποστολικά.

Πρὸς Ῥωμαίους (ι΄ 11-21, ια΄ 1-2).

(Ζήτει τῇ Τρίτῃ τῆς δ΄ ἑβδομάδος ἐπιστολῶν).

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος πλ. δ΄.

Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.


Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα


τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Ἤ ὁ ψάλτης.

Ἦχος πλ. Νη ζω





Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.


(ι΄ 11-21, ια΄ 1-2)


Ὁ διάκονος· Πρόσχωμεν.

Ἀδελφοί, λέγει ἡ γραφή· «Πᾶς ὁ πιστεύων ἐπὶ τῷ Θεῷ οὐ καταισχυνθήσεται». Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· «Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται». Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; Καθὼς γέγραπται· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά!». Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας γὰρ λέγει· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;». Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωϋσῆς λέγει· «Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς». Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· «Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι». Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· «Ὅλην τὴν ἡμέρα ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα». Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν. Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω.

Ἀλληλούϊα (γ΄). Ἦχος α΄. Ψαλμὸς πη΄ (88).

Ἦχος Κε





Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον


(θ΄ 9-13).

(Ζήτει Σαββάτῳ τῆς ε΄ ἑβδομάδος Ματθαίου).


Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον καθήμενον


ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ· Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι εἶπον τοῖς μαθηταῖς αὐτοῦ· Διατὶ μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες· Πορευθέντες δὲ μάθετε τί ἐστιν «ἔλεον θέλω καὶ οὐ θυσίαν». Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.


Ἦχος ἀ Δι



Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος πλ. Δι





τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποι οι ω ω Τρι ι α α α α α α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε



Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.


Ἦχος




Τὸ Σύμβολον τῆς πίστεως.


Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *


Ε λε ον ει ρη νης θυ σι αν αι νε σε
ως
Και με τα του Πνευ μα το ος σου
Ε χο μεν προς τον Κυ ρι ον
Α ξι ον και δι ι ι ι ι και ον
Α γι ος Α γι ος Α γι ος Κυ ρι ος Σαβ
βα ωθ πλη ρης ο ου ρα νος και η γη της δο ξης
σου ω σα να εν τοις υ ψι ι στοις ευ λο γη
με νος ο ερ χο με νος εν ο νο μα τι Κυ
ρι ι ου ου ου ω σα να εν τοις υ ψι ι
ι ι ι στοις
Α μη η ην
Α μη η η ην
Σε υ μνου ου μεν Σε ευ λο γου ου με ε ε
εν Σοι ευ χα ρι στου μεν Κυ ρι ε και δε ο με
θα α σου ου ου ου ου ο Θε ο ο ο ο ο ο





Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι




Τῇ Πέμπτῃ. Κοινωνικόν. Πέτρου Λαμπαδαρίου.

Ἦχος πλ. Δ Νη





ε ε ε ε ε ε ιιε ε ε ε ε ε ε ε ε
ε ρα α α α εις τα πε ε ρα τα α α α α
α α της οι ηοι οι οι οι κου ου ου ου της οι οι
κου ου ου με ε ε ε ε ιιε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε χε ε
ε ε της οι οι οι κου ου με ε ε ε ε ε νη
ης τα α α ρη η η η η η η η η η η
η η η η η η η η η η η η η η τα
ρη η η η η η η μα α α α α ηα α α α
α α α α α α α α α α χα α α α α α
α α α α α α α α α α α α α α α α
α α α τα ρη η μα τα α α α α α ηα α α
α α α αυ τω ω ηω ω ω ω ων A ιιε ε ε
ηα ιιε ηα ιιε ιιε ηηα ηα ιιε ε τα ιιε ε ε ηα
ιιε ηα ιιε ιιε ηηα ηα ιιε ε ε ιιε ηα ηα ιιε ε ιιε
ηα α ηα α ιιε Αλ λη λου ου ου ι ι ι




Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἕλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.


ΑΘΗΝΑΙ 2003

Ἦχος Δι




Ἦχος Δι




Α λλη λϑ ϊ α Α λλη λϑ ϊ α Α λλη
λϑ ϊ α α α
Δ

Ἦχος πλ. Δι


Ε
ι η το ο νο μα Κυ ρι ϑ ευ λο γη με
νον Δ α πο τϑ νυν και ε ως τϑ αι ω ω νος (δὶς)
Τ
ο ο νο μα Κυ ρι ϑ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον Ζ α πο τϑ νυν και ε ως
τϑ αι ω ω νο ο ος Δ